πλευρὰς τρέχουσι σχοινίνοις τ' ἐν τεύχεσιν
πλήρωμα τυρῶν ἐστιν ἐξημελγμένον;
τί φατε; τί λέγετε; τάχα τις ὑμῶν τῷ ξύλῳ
δάκρυα μεθήσει· βλέπετ' ἄνω καὶ μὴ κάτω.
ΧΟ. ἰδού, πρὸς αὐτὸν τὸν Δί' ἀνακεκύφαμεν
καὶ τἄστρα καὶ τὸν Ὠρίωνα δέρκομαι.
ΚΥ. ἄριστόν ἐστιν εὖ παρεσκευασμένον;
ΧΟ. πάρεστιν. ὁ φάρυγξ εὐτρεπὴς ἔστω μόνον.
ΚΥ. ἦ καὶ γάλακτός εἰσι κρατῆρες πλέῳ;
ΧΟ. ὥστ' ἐκπιεῖν γέ σ', ἢν θέλῃς, ὅλον πίθον.
ΚΥ. μήλειον ἢ βόειον ἢ μεμιγμένον;
ΧΟ. ὃν ἂν θέλῃς σύ· μὴ 'μὲ καταπίῃς μόνον.
ΚΥ. ἥκιστ'· ἐπεί μ' ἂν ἐν μέσῃ τῇ γαστέρι
πηδῶντες ἀπολέσαιτ' ἂν ὑπὸ τῶν σχημάτων.
ἔα· τίν' ὄχλον τόνδ' ὁρῶ πρὸς αὐλίοις;
λῃσταί τινες κατέσχον ἢ κλῶπες χθόνα;
ὁρῶ γέ τοι τούσδ' ἄρνας ἐξ ἄντρων ἐμῶν
στρεπταῖς λύγοισι σῶμα συμπεπλεγμένους
τεύχη τε τυρῶν συμμιγῆ γέροντά τε
πληγαῖς πρόσωπον φαλακρὸν ἐξῳδηκότα.
ΣΙ. ὤμοι, πυρέσσω συγκεκομμένος τάλας.
ΚΥ. ὑπὸ τοῦ; τίς ἐς σὸν κρᾶτ' ἐπύκτευσεν, γέρον;
ΣΙ. ὑπὸ τῶνδε, Κύκλωψ, ὅτι τὰ σ' οὐκ εἴων φέρειν.
ΚΥ. οὐκ ᾖσαν ὄντα θεόν με καὶ θεῶν ἄπο;
ΣΙ. ἔλεγον ἐγὼ τάδ', οἳ δ' ἐφόρουν τὰ χρήματα
καὶ τόν τε τυρὸν οὐκ ἐῶντος ἤσθιον
τούς τ' ἄρνας ἐξεφρίεντο· δήσαντες δὲ σὲ
κλῳῷ τριπήχει κατὰ τὸν ὀμφαλὸν μέσον
τὰ σπλάγχν' ἔφασκον ἐξαμήσεσθαι βίᾳ

---

208 πλευροῖς Elmsley | τρύχουσι mut. in τρέχουσι *L*, τρέχουσι *P* 210 τις] τίς *LP* 212. 215. 217. 219 Sileni nota praefixa in *LP*, correxit Tyrwhitt 213 καὶ τἄστρα vel καὶ τ' ἄστρα *LP*, τά τ' ἄστρα Choerobosc. Can. I p. 286, 3 | ὠρίωνα *P* 216 ἦ in ἤ mut. *l*, ἤ *P* 219 μή με *LP* 220 μ'] Seidler, γ' *LP* 221 πηδόντες *P*, corr. *p* 227 πρόσωπον] μέτωπον Tyrwhitt 230 τὰ σ' *LP*, τάδ' *p* 231 ᾖσαν *L*, ἤσαν *P*, ἴσαν *p* 233 τε] Blaydes, γε *LP* | ἐόντος *LP*, ἐῶντος *p* 234 ἐξεφρίεντο] scripsi, ἐξεφοροῦντο *LP*, cfr. Tro. 652 | δέ σε *LP* 235 κλωῶ *LP*, οι super ω scr. *p*, κλῳῷ 'ν Blaydes | κατὰ] Canter, κᾶτα *LP* | ὀμφαλὸν] Scaliger, ὀφθαλμὸν *LP* 236 σπλάγχ' *P* | ἐξαμήσεσθαι] Duport, ἐξαμήσασθαι *LP*

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG